ἀφίεσαν τρέχειν. ἄλλως. ἡ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται ἀπὸ τοῦ εἰσβάλλεσθαι βάδην. πρῶτον γὰρ εἰσέρχονται βάδην, εἶτα τοῦ δρόμου ἄρχονται. ἢ ἀπὸ τοῦ ἅλλομαι ἁλμὶς ἀλβίς. ὑπερβιβασμῷ βαλβίς. ἢ ἀπὸ τοῦ βαίνω. Υποθεῖν ἐκ ἔω.] ὑποτρέχειν. ὑποσκελίζειν. καὶ ἐμποδὼν ἵστασθαι. Εγὼ θρύπτομαι.] σπουδαιοῦμαι ἢ τρυφήσω. καὶ σεμνυνοῦμαι. μαζίσκην δὲ ἄρτον πεφυραμένον. Εκ τῶν ὀλῶν.] ὀλαὶ αἱ μετ' ἀλῶν μεμιγμέναι κριθαὶ, καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. πάλιν δὲ εὐφυῶς ὑπομιμνήσκει τῶν ἐν Πύλῳ. Μεμυστιλημένας] κατειργασμένας. ἤδη ἑτοίμους τουτέστι μεμασημένας.

A Ως μέγαν.] λεληθότως σεμνολογεῖ τὸ μέγεθος τοῦ ἀγάλματος διὰ τοῦ εἰπεῖν τὸν δάκτυλον αὐτοῦ μέγαν. ὥσπερ καὶ διὰ τοῦ εἰπεῖν ἐν χειρὶ ἐλεφαντίνῃ τὴν λευκότητα καὶ λαμπρότητα καὶ τὸ κάλλος αὐτοῦ. ἕκαστος δὲ φιλονεικεῖ δεῖξαι τὴν τῆς Ἀθηνᾶς εὔνοιαν ἐν τῇ πόλει. ὡς εἰ τοῦτο δείξειε καὶ τὴν ἑαυτοῦ οἴεται δήλην ποιῆσαι πρὸς τὴν πόλιν εὔνοιαν. Εγὼ δ' ἔτνος γε.] ὅτι τὰ ὄσπρεια ἐν τῇ ἑψήσει διαθρύπτονται. πάλιν δὲ τὸ ἐν Πύλῳ κατόρθωμα διὰ τοῦ πυλαιμάχος. Υπερέχει σου.] ἀντὶ τοῦ B ὑπερμαχεῖ καὶ ὑπερασπίζει σου. ἀντὶ δὲ τοῦ εἰπεῖν περικεφαλαίαν, εἶπε χύτραν ὡς μάγειρος. Τὴν χύτραν.] ἀντὶ τοῦ εἰπεῖν χεῖρα.

Κλ. Τουτὶ τέμαχός σοι δῶκεν ἡ φοβεσιστράτη.

Αλλ. Ἡ δ' ὀμβριμοπάτρα γ', ἑφθὸν ἐκ ζωμοῦ κρέας,

Καὶ χόλικος, ἠνύστρου τε, καὶ γαστρὸς τόμον.

Δη. Καλῶς γ', ἐποίησε τοῦ πέπλου μεμνημένη.

Κλ. Ἡ γοργολόφα σ' ἐκέλευε τουτουὶ φαγεῖν

Ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.

Αλλ. Λαβὲ καὶ ταδὶ νυνί. Δη. καὶ τί τούτοις χρήσομαι

Τοῖς ἐντέροις; Αλλ. ἐπίτηδες αὔτ' ἔπεμψέ σοι

Εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός.

Ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.

Ἔχε καὶ πιεῖν κεκραμένον, τρία καὶ δύο.

Δημ. Ὡς ἡδύς, ὦ Ζεῦ. καὶ τὰ τρία φέρων καλῶς.

Αλλ. Ἡ τριτογενὴς γὰρ αὐτὸν ἐνετριπόνισε.

Κλ. Λαβὲ νυνὶ πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.

Αλλ. Παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.

Κλ. Ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς, ἀλλ' ἐγώ.

Αλλ. Οἴμοι, πόθεν λαγῷά μοι γενήσεται;

Ὦ θυμὲ νυνὶ βωμολόχον ἐξεύρε τι.

Κλ. Ὁρᾷς τάδ' ὦ κακόδαιμον; Αλλ. ὀλίγον μοι μέλει.

Ἀλλὰ γὰρ ἐκεινοί γ' ὡς ἔμ' ἔρχονται. Κλ. τίνες;

Αλλ. Πρέσβεις, ἔχοντες ἀργυρίου βαλάντια.

Κλ. Ποῦ, ποῦ; Αλλ. τί δέ σοι τοῦτ'; οὐκ ἐάσεις τοὺς ξένους;

Ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ', ἅ σοι φέρω;

Κλ. Οἴμοι τάλας, ἀδίκως γε τἀμ' ὑφήρπασας.

Αλλ. Νὴ τὸν Ποσειδῶ, καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.

Δη. Εἴπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;

CL. *Tomaculum hoc tibi dedit bellatrix Dea.*

AG. *Immò hanc, ex iure coctam, carnem dat tibi*

*Patrima Dea cum intestino & ventriculo.*

C PO. *Bene fecit, quòd pepli recordata est Dea.*

CL. *Cristata Gorgone Pallas te vesci iubet*

*Istac placenta, vt remigemus commodè.*

AG. *Etiam hæc cape.* PO. *quid cum intestinis istis agam?*

AG. *Data opera tibi misit, quasi carinam, Dea*

*Ad naues. nam probè obseruat rem nauticam,*

*Habe & dilutum, quod bibas, tria ac duo.*

D PO. *Quàm suaue, proh Deum, & quàm pulcrè fert tria.*

AG. *Tritonia ipsum miscuit poclis tribus.*

CL. *Cape hanc à me placentæ portiunculam.*

AG. *A me verò hanc placentam totam habeto tibi.*

CL. *At vnde leporinas des, non habebis, vt*

*Ego:* AG. *væ mihi! leporinas vnde comparem?*

*Anime mi, nunc scurrile quid finge, inuenito.*

E CL. *Viden' has, homo miser?* AG. *id parum curæ est mihi.*

*Verùm huc alij quidam ad me tendunt.* CL. *qui, obsecro?*

AG. *Legati, onustos ære loculos qui ferunt.*

CL. *Vbinam, vbi?* AG. *quid ad te? quin omittis hospites?*

*O mi popelle, viden' leporinas, quas fero?*

F CL. *Hei mihi, mea tu rapuisti per nefas bona.*

AG. *Ita per Neptunum, quando & tu aliena è Pylo.*

PO. *Dic quæso, quomodo cogitasti surpere?*

Σχόλια. Η φοβεσιστράτη.] ἡ φοβοῦσα τὸν στρατόν. ἑξῆς δὲ τὰ ἐπίθετα τῆς θεοῦ. Καὶ χόλικος.] χόλικες τὰ παχέα ἔντερα. χόλικος δὲ καὶ ἠνύστρου, ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατώδη κρέα. τομὸν δὲ τὸ τέμαχος. ἠνυστρον δὲ ἡ κάτω κοιλία. Η γοργολόφα.] ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα. ἐλατὴρ δὲ, πέμματος εἶδος. τινὲς μὲν, ἄζυμα. Εὐριπίδης δὲ πέπτα. ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν. Εντερονείαν.] τὰ ἐγκοίλια τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. ἄλλως. οἱ G μὲν, τὸ τῶν νεῶν ἔδαφος. οἱ δὲ, τὰ ἐγκοίλια. βέλτιον δὲ, τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. ταῦτα δὲ ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ λόγῳ ὤφειλε συστέλλειν τὸ α, καὶ παροξύνειν. οὕτω γὰρ τὴν ἐντερόνην Ἀριστοφάνης ἐν τοῖς Ἱππεῦσιν ἔφη. ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς. ὅ ἐστι συνεκτικώτατον ἥτις ἐστὶ τρόπις. ὑπὸ δὲ ἄλλων μήτρα καλεῖται. φησὶ δὲ ὁ κωμικὸς εἰς τὰς τριήρεις ἐντερονείαν ἡ θεός. εἰ μὴ ἄρα ποιητικὴ ἐστὶν ἡ ἔκτασις.

BISETVS. Εντερείωνη παρὰ τῷ Πολυδεύκει λέ-